θήσει τὴν εὕρεσιν, ἵνα μὴ σοφιστικὴν ἕξιν μηδὲ ἱστορικὴν ἀλλ᾽ ἐνδιάθετον καὶ φιλόσοφον λαμβάνωμεν, ἀρχὴν τοῦ καλῶς βιῶναι τὸ καλῶς ἀκοῦσαι νομίζοντες.

4.

# ΠΩΣ ΑΝ ΤΙΣ ΔΙΑΚΡΙΝΕΙΕ ΤΟΝ ΚΟΛΑΚΑ ΤΟΥ ΦΙΛΟΥ

(Plan. 7)

**1.** *Τῷ σφόδρα φιλεῖν ἑαυτόν, ὦ Ἀντίοχε Φιλόπαππε, φάσκοντι συγγνώμην μὲν ἅπαντας ὁ Πλάτων διδόναι φησί, κακίαν δὲ σὺν πολλαῖς ἄλλαις ἐγγίνεσθαι μεγίστην, ὑφ᾽ ἧς οὐκ ἔστιν αὑτοῦ κριτὴν δίκαιον οὐδ᾽ ἀδέκαστον εἶναι· ‘τυφλοῦται γὰρ τὸ φιλοῦν περὶ τὸ φιλούμενον’, ἂν μή τις μαθὼν ἐθισθῇ F τὰ καλὰ τιμᾶν καὶ διώκειν μᾶλλον ἢ τὰ συγγενῆ καὶ οἰκεῖα. τοῦτο τῷ κόλακι πολλὴν μεταξὺ τῆς φιλίας εὐρυχωρίαν δίδωσιν, ὁρμητήριον ἐφ᾽ ἡμᾶς εὐφυὲς ἔχοντι τὴν φιλαυτίαν, δι᾽ ἣν αὐτὸς αὑτοῦ κόλαξ ἕκαστος ὢν πρῶτος καὶ μέγιστος οὐ χαλεπῶς προσίεται τὸν | ἔξωθεν ὧν οἴεται καὶ βούλεται μάρ- 49 τυν ἅμα αὐτῷ καὶ βεβαιωτὴν προσγινόμενον. ὁ γὰρ λοιδορούμενος φιλοκόλαξ σφόδρα φίλαυτός ἐστι, [καὶ] δι᾽ εὔνοιαν ἑαυτῷ πάντα μὲν ὑπάρχειν βουλόμενος πάντα δ᾽ οἰόμενος ὧν ἡ μὲν βούλησις οὐκ ἄτοπος ἡ δ᾽ οἴησις ἐπισφαλὴς καὶ δεομένη πολλῆς εὐλαβείας. εἰ δὴ θεῖον ἡ ἀλήθεια καὶ ‘πάντων μὲν ἀγαθῶν*